πληγος· ἀπελθὼν οὖν πρὸς αὐτὸν, φησί, κομψότατε, ξάνθος ὁ φιλόσοφος μαθών σου τὴν πραότητα ἐπὶ δεῖπνον καλεῖ. ὁ δέ φησι, ἐλεύσομαι. εὑρήσεις δέ με πρὸ τοῦ πυλῶνος. ἐλθὼν οὖν ὁ αἴσωπος ἠυτρέπισε τὸ δεῖπνον. ὁ ξάνθος φησί, αἴσωπε, ποῦ ὁ ἀπερίεργος ἄνθρωπος. ὁ δέ, πρὸ τοῦ πυλῶνος ἕστηκε. τῇ δὲ ταχίστῃ ὥρα εἰσήγαγεν αὐτὸν, καὶ κατεκλίθη μετὰ τῶν φίλων. ὁ δὲ ξάνθος εἶπε, δοθῆναι τῷ ξένῳ πρῶτον οἰνόμελι. ὁ δέ φησι, οὐχὶ κύριε, σὺ πρῶτον πίε, εἶτα ἡ γυνή σου, ἔπειτα ἡμεῖς οἱ φίλοι σου. ὁ δὲ ξάνθος νεύει τῷ αἰσώπῳ. ἐγὼ ἅπαξ. καὶ πῶς ἐφαίνετο ἀπερίεργος. εἶτα ἰχθύων λοπὰς παρετίθει. ὁ ξάνθος ἐπαφορμιζόμενος ἔφη. τοσαῦτα μου ἀναλώματα δεδωκότος κατεφρο-